Λέγει ἱερεὺς πᾶσι· Τὰς κεφαλὰς ἡμῶν τῷ κυρίῳ κλίνωμεν·
Δέσποτα κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν· ὁ γεννηθεὶς σαρκωθεὶς οἰ-
κονομικῶς εὐλογήσας τὴν Βηθλεέμ, καὶ τὴν Γεθσημανῆ,
καὶ πρὸ τούτων τὸν οἶκον Ἰακώβ· ὃς καὶ εὐλογηθεὶς Ἰσραὴλ
μετονομάσθη· ὁ καὶ τὸν οἶκον Δαβὶδ εὐλογήσας· αὐτὸς
εὐλόγησον καὶ τὸ κτῆμα τοῦτο· καὶ ποίησον αὐτὸ ἐ-
παλλοσιάσας καρποφορίαν· πρεσβείαις τῆς παναγ-
χράντου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μα-
ρίας· δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ· τοῦ
τιμίου ἐνδόξου προφήτου προδρόμου καὶ βαπτιστοῦ
Ἰωάννου· τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων·
τῶν ἁγίων καὶ καλλινίκων μαρτύρων· τοῦ ἁγίου καὶ
ἐνδόξου μεγαλομάρτυρος Τρύφωνος· τοῦ ἁγίου τοῦ
καὶ πάντων τῶν ἁγίων· Ὅτι σὺ εἶ ὁ εὐλογῶν καὶ
ἁγιάζων τὰ σύμπαντα· καὶ σοὶ τὴν δόξαν ἀναπέμ-
πομεν σὺν τῷ ἀνάρχῳ σου πατρί· καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ
καὶ ζωοποιῷ σου πνεύματι· νῦν καὶ ἀεί. +++

http://digital.slub-dresden.de/ppn345703170/25